βλέψον πρὸς αὐτοὺς, βλέψον) ἕλκεσθαι βίᾳ.
ἀλλ' ἄντομαί σε, καὶ καταστέφω χεροῖν,
καὶ πρὸς γενείου, μηδαμῶς ἀτιμάσῃς
τοὺς Ἡρακλείους παῖδας εἰς χέρας λαβεῖν.
γενοῦ δὲ τοῖσδε συγγενὴς, γενοῦ φίλος,
πατὴρ, ἀδελφὸς, δεσπότης. ἅπαντα γὰρ
ταῦτ' ἐστὶ κρείσσω, πλὴν ὑπ' Ἀργείοις πεσεῖν.

ΧΟ. Ὤικτειρ' ἀκούσας τῶνδε συμφορὰς, ἄναξ.
τὴν δ' εὐγένειαν τῆς τύχης νικωμένην
νῦν δὴ μάλιστ' εἰσεῖδον. οἵδε γὰρ πατρὸς
ἐσθλοῦ γεγῶτες, δυστυχοῦσ' ἀναξίως.

ΔΗ. Τρισσαί μ' ἀναγκάζουσι συμφορᾶς ὁδοὶ,
Ἰόλαε, τούσδε μὴ παρώσασθαι ξένους.
τὸ μὲν μέγιστον, Ζεὺς, ἐφ' οὗ σὺ βώμιος
θακεῖς, νεοσσῶν τήνδ' ἔχων πανήγυριν.
τὸ συγγενές τε, καὶ τὸ προυφείλειν καλῶς
πράσσειν παρ' ἡμῶν τούσδε, πατρῴαν χάριν.
τό τ' αἰσχρὸν, οὕπερ δεῖ μάλιστα φροντίσαι.
εἰ γὰρ παρήσω τόνδε συλᾶσθαι βίᾳ
ξένου πρὸς ἀνδρὸς βωμὸν, οὐκ ἐλευθέραν
οἰκεῖν δοκήσω γαῖαν. Ἀργείοις δ' ὀκνῶ
ἱκέτας προδοῦναι. καὶ τάδ' ἀγχόνης πέλας.
ἀλλ' ὤφελες μὲν εὐτυχέστερον μολεῖν.
ὅμως δὲ καὶ νῦν μὴ τρέσῃς ὅπως σέ τις
ξὺν παισὶ βωμοῦ τοῦδ' ἀποσπάσει βίᾳ.
σὺ δ' Ἄργος ἐλθὼν, ταῦτά τ' Εὐρυσθεῖ φράσον,

229. λαβών.
232. ταῦτ' ἐστι
233. τάσδε συμφορὰς
235. ἐσεῖδον.
238. τοὺς σοὺς pro τούσδε
239. βωμίους
241. προὐφείλειν,
244. συλλᾶσθαι
245. οὐκ ἐλεύθερον
250. σὺν παισὶ——ἀποσπάσῃ
251. σύδ' Sic etiam vv. 258. 341. 373.